## 23 AUGUST
## DIMITRIOS MAVRIDIS

# SLUJBA
# SF.MUCENIC
# LUPUS
# DE LA NOVAE



## TESALONIC,2018


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΛΟΥΠΠΟΥ

**Ποίημα ΔΗΜΗΤΡΙΟΣ Γ.ΜΑΥΡΙΔΗΣ**

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. Ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Λοῦππε πίστεως πρόμαχε, τὸν ἀγῶνα τετέλεκας καὶ τῆς νίκης ἔπαθλον ἀειράμενος, ὡς ὁ γενναῖος Δημήτριος, συμπράξει τε Νέστορος, ὡς Τριάδος τούς πιστοὺς, ἰσαρίθμους τε κίονας, οὓς ὑμνήσωμεν, ὡς γενναίους ὁπλίτας, ὡς τῆς ἄνω βασιλείας κληρονόμους, ὡς φοινικόβαφα δώματα.

Οὐρανίων οἱ ἄρχοντες, τῶν ἀγγέλων τὰ τάγματα, τῶν μαρτύρων οἱ χοροί, ἐξανέστησαν· ὡς εὐθαρσῶς ἐναθλήσαντες, τὸ φῶς τε αὐγάσαντες καὶ τὸ πῆμα τὸ πικρόν, εἰς γλυκὺ μετατρέψαντες· νῦν πρεσβεύσατε, κατὰ μέθεξιν θείαν συμπληγάδας ἁμαρτάδων διαδρᾶναι, τοὺς ὑμνοῦντας ἄγαν, τά ἄσπετα ἄλγεα.

Ὑακίνθινον στέφανον, τῷ κρατί ἐστεφάνωσαι, λώπας σιγαλόεσας πορφυρίζουσας, ἃς θησαυρόν ὡς πολύτιμον, ἀστύνδε περιέφερες· καί ἰάσεων πληθύν, ἀνηκέστοις δεδώρηκας· τούτων εἵνεκα, ὡς ἀκέστωρ διεβλήθης, ὡς θεράπων, ὡς φωστῆρ τε τῶν ἐν σκότει καὶ ἰατρός τῶν ψυχῶν ἡμῶν.

Παῖς ἀγχήρης ὢν μάρτυρος, ἀδέωσῄ κολούθησας, ἀθλοφόρος γέγονας, αἱμοφόρυκτος· ὁ ἐκπιαίνων τὰς χέῤῥονας, τῷ ῥείθρῳ τῶν θρόμβων σου· καὶ προτρέπων ἐξυμνεῖν, Δημητρίου τὰ ἕλκεα, ἃ ἐδέξατο, ἀῤῥωγῇ οὐρανείᾳ· καὶ τά πλήθη, τῶν θαυμάτων πᾶν δ' ἦμαρ, ὑπὲρ ἡμῶν ἐργασάμενος.

Παῤῥησία ἀτρόμητος, τὰ αἱμόφυρκτα λώματα, πανταχοῦ παρέθηκας, ὑγιαίνεσθαι· ἡ τε τοῦ Νέστορος ἄθλησις, Λυαίου τέ πάταξις, Δημητρίου τῇ εὐχῇ, ἐπιῤῥώννυσιν ἄλγεα· παμμακάριστε, Λοῦππε ἒνδοξε, ταῦτα τά ψιχία, εὐσεβάστως προτιθέντα· εὐχαῖς ταῖς θείαις εὐλόγησον.

Ὥσπερ φόρμιγξ μήκυθμος, ὡς πτηνόν τηλεκέλαδον, βοητής ὡς εὔηχος, διετράνωσας, τά τῶν μαρτύρων τά ἄεθλα, καὶ τὰ κατορθώματα, ἱματίων κομιδῇ, δακτυλίου σφραγίσματι· διὸ πάνδημοι, ἀπὸ μέσης καρδίας σὲ ὑμνοῦμεν, τῇ πανευφήμῳ τε θείᾳ καὶ ἱερᾷ πανηγύρει σου.

Δόξα. Ἦχος δ’. Ἔδωκας σημείωσιν.

Μαρμαίρει ἡ μνήμη σου, ὡς μαργαρίτης φωτόστεφος, ἀπαστράπτουσαν ἒλλαμψιν, ἒρεβος σβεννύουσα, ὡς φωσφόρον ἂστρον, ὡς αἲγλη ἑῷος· οἷα ἡ λάμψις σου φωστὴρ; τὶς ἡ αυγεία, ἣν περιβέβλησαι; ὦ Λοῦππε ἀγαθόεργε, ὦ ἐπουράνιε ἄνθρωπε, σέ γεραίρω ὡς εὔσπλαγχνον καὶ ῥητῶς σέ δοξάζομεν.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτὸς.
Ἄλγος φοβερώτατον, τό τοῦ θανάτου Παντάνασσα, τὴν ψυχὴν καταδάπτει μου, πρό πάντων ὁ ἄθλιος, εὑρεθείς ἄστατος, ἀεὶ τά προσήκοντα πλημμελήσας ἀγαθή· ἐξ ὧν με ῥῦσαι τῇ δυναστείᾳ σου, Παρθένε ἡλιόκαλλε, πρὸς τε χλωρόχλοα δώματα καὶ πρὸς φῶς φαεσίμβροτον, πανοικεὶ ἡνιόχησον.

Εἴσοδος. Φῶς ἱλαρόν.
Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφία Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. Γ', 1-9)
Δικαίων δὲ ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν καλασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. οἱ πεποιθότες ἐπ᾿ αὐτῷ ὁλοκάρπωμα θυσίας, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ

προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. Ε΄, 15-23 & Ϛ΄, 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ΄ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. δ', 7-15)
Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὰ Ἀπόστιχα. Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν ἀληθῶς.
Ῥέκτωρ, τῶν ἀθλοφόρων Χριστοῦ, Θεσσαλονίκης τροπαιοῦχε αἰπύτατε, ὁ ἔνδοξος στρατιώτης καί τῶν πιστῶν στηριγμός, εὐσεβῶν ταμίας, ὁ πάνυ ἔμπεδος, κρατὴρ ὁ ἀείρυτος, προστάτης φιλάνθρωπος, τοξοβολίων, τῆς εὐανδρείας ἐπίῤῥωσις καὶ ἡ καύχησις, Λοῦππε ταύτης τῆς κώμης σου, ἀστήρ ὁ ἀρίδηλος καὶ πύλη οὐράνιος, ὁ θάρσει ἀτρόμῳ πέλει, τοξευμοὺς τοῦ ἰόχειρος, μαρτύρων κερασφόρε, ἀνυμνούντων

εὐμολπία καὶ σεμνολόγημα.
Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Τλήθυμος, παραστάς τε στεῤῥός, ὡς ἀκραδάντως γενναιόφρων ἐνήθλησας, ὁ μήστωρ πάνυ θεόφιν, ὁ τῶν μαρτύρων λαμπρός, ὁδηγός πορείας, τό θεῖον ἔσοπτρον, λαμπτὴρ ὁ ἀείφωτος, κανών ἀδιάβλητος, τῆς ἀληθείας, τῶν προσφευγόντων ὁ σύμμαχος καὶ τό φάσγανον, Λοῦππε ὃπλον τὸ ὄβριμον, πατήρ ὁ φιλόστοργος καὶ φρήτηρ ἐπίκουρος, ὁ πάντας ἀόκνως στέργων, προσφιλῶς ὡς φιλάνθρωπος, μαρτύρων εὐτολμία, πρεσβευόντων παῤῥησία καὶ ἱλαστήριον.
Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.
Ὕμνοις καὶ λιγυφθόγγοις ᾠδαῖς, ὑμνήσωμεν τόν ἀγχίθεον μάρτυρα, τὸν πύργον τῆς ἐκκλησίας, ἁμαρτωλῶν πρεσβευτήν, καί τῶν ἐνδημούντων τό ἐχέγγυον, τὸ τεῖχος τὸ ἄῤῥηκτον,τό παλίνδρομον ἒμβολον, τόν τοῦ Πνεύματος ἀριδείκετον κήρυκα· Ὅθεν στεῤῥῶς ἀθλήσαντα, ὡς Λοῦππε σέ ἒγνωμεν καί ἀληθείας ἐδρέψω, τὰ πολυπόθητα ῥήματα, διὸ είς τὴν σὴν μνήμην, ἐρικυδέως ἐξυμνοῦμεν, τὸν σὲ δοξάσαντα.
Δόξα. Ἦχος πλ. α’. Χαίροις ἀσκητικῶν ἀληθῶς.
Ῥᾶνον ἐν ταῖς ψυχαῖς τῶν πιστῶν, πατὴρ ὡς τέκνοις δαψιλεύει τὰ ὤνια, τοῦ νέκταρος εὐλογίαν,

ὡς ἰαμάτων πηγήν, καὶ πικρίας πάσης ὡς λυτήριον· συντήρει ἀκλόνητον, ὀρθοδόξων τὸ φρόνημα, ὑπὲρ οὗ Λοῦππε, ἐν ἀνδρείᾳ ἐνήθλησας καὶ ἐδραίωσας, εἰς βροτῶν τήν ὑπόμνησιν. Θέσφατον ἀπαράτρεπτον, τὸ τίμιον αἷμά σου, δοῦλε πιστὲ τοῦ Κυρίου, τοῦ Δημητρίου τὸ καύχημα, παράσχου ἀσπέτως, τοῖς αἰτοῦσι θεοφόρε, τὴν μεσιτείαν σου.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Ἰάσεων καὶ θαυμάτων κρουνός, τῆς Οἰκουμένης ἀλεξίκακον στήριγμα, προστάτης τῶν ἐν κινδύνοις, καὶ ταχινὸς ἀῤῥωγός, τῶν ἐν πίκραις ὄντως παραμύθιον· λυχνία ἀκοίμητος, εὐσπλαχνίας ἡ ἄβυσσος, ποντιζομένων, ἡ ἐπίκουρος ἄγκυρα, ἐρυσίπτολις, τῶν πιστῶν ἀπροσμάχητος. Χαίροις ἡ τὴν αἰώνιον, ὁδείαν ἰθύνουσα καὶ ὑμνηταῖς Σου ἐξόχως, ἐπευλογοῦσα τὰς χάριτας· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον Ἁγίου Μάρτυρος Λούππου. Ἦχος γ΄.

Θείας πίστεως.

Λώποις αἵμασι πεφοινιγμένοις, κῆρυξ γέγονας πεπεδημένοις, δακτυλίῳ Δημητρίου τε χάριτι, ὡς οὖν ἰάσεις πιστοῖς παρεχόμενος, μαρτυρικῶς συνετάχθης τῷ Νέστορι· Λοῦπε ἔνδοξε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος γ’ . Θεοτοκίον.
Ὡς τὴν μεσιτεύσασαν, τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν σὲ Θεοτόκε Παρθένε, ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὁφιλάνθρωπος.
Ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εἰς τὸ «Θεός Κύριος» τά ἐν τῷ Ἑσπερινῷ Ἀπολυτίκια, «Λώποις αἵμασι»

Μετὰ τὴν α᾽ στιχολογίαν, Κάθισμα.
Ἦχος α᾽. Τόν τάφον σου Σωτήρ.
Ῥυτῆρα ἀῤῥωγὸν, ὡς φαρέτρα τε Λοῦππε, σῆς κώμης οἱ πιστοὶ καὶ περάτων τὰ στίφη· ὡς θεῖον σὲ κηρύττομεν, συμπολίτην τοῦ Νέστορος, νῦν δὲ ἄνοιξον, τῶν οὐρανίων τὰς πύλας, ὅπως πάνδημοι, τὴν μυροφόρον σου μνήμην, ἀξίως ἀνυμνήσωμεν.
Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.
Ὡς στάχυς ἀμητοῦ, Ἡλιόκαλλε Μῆτερ, ἐτέχθη Σοι Χριστός, ὡς ἁλωνίας τε πλοῦτος· ἡμῖν νῦν μεσιτεύουσα, πεπραγμένων τήν ἄφεσιν καὶ προσβρύουσα, τῶν ἰαμάτων τὴν χάριν, ὅπως ἅπαντες, ὡς μητέραν σὲ ὑμνοῦμεν, Θεοῦ ἐνανθρωπήσαντος.

Μετὰ τὴν β΄ στιχολογίαν, Κάθισμα.
Ἦχος γ'. Τήν ὡραιότητα.
Τό πυροπόρφυρον, τὸ τῆς ἀθλήσεως, τὸ χρυσοποίκιλτον, τὸ τῆς τιμήσεως, ὑμνολογοῦμεν ἱλαρῶς, τὸ ἄῤῥητον μυστήριον· σύμπασα ἡ κώμη σου, καὶ τὰ πέριξ προστρέχουσι, ἴασιν αἰτούμενοι καὶ πταισμάτων συγχώρησιν· διὸ καὶ ὁμοθύμως κραυγάζομεν· Λοῦππε πιστῶν ἦμαρ ἐλεύθερον.
Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.
Ἔνθεον μάρτυρα, ἀθλητικώτατον, κέρας ὀξύπρῳρον, ἀκαταμάχητον, οἱ γηγενεῖς τε καὶ πιστοί, ἐδείκνυον Θεοτόκε· Λοῦππον τὸν ἰσάξιον καὶ ἀγγέλων ἐπάξιον, Νέστορος ὁμότροπον, Δημητρίου ὁμόπιστον· Διὸ συνανυμνοῦντες βοῶμεν· Χαῖρε ἡ κεχαριτωμένη.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.
Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.
Εἰσοικίσασα ὅλον, τὸ θεῖον πρότυπον, Παναγίας Τριάδος τό ἀδιάῤῥηκτον, τῶν ἀθλοφόρων, ἡ τριάς καὶ ῥῦτρον σύνταγμα, τῶν ὁμοφρόνων ἀθλητῶν, ὁ κρείων σύνδεσμος· διό Δημήτριε πρός σέ, τῶν ἀγχιψύχων ἀθλητῶν, πρεσβείαις πάνυ βοῶμεν· Ἱλάσθητι τοῖς σοῖς δούλοις καὶ ῥῦσαι τῆς φοβερᾶς ἐτάσεως.
Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.
Τῶν μαρτύρων ἐνστάσεις καὶ θεαθλήματα, ὡς βακτηρία Παρθένε ἡ ὑπερείδουσα, ὡς

παναρίδηλος ῥαιστήρ καί ἒγχος ἄμαχον, ή τέ τήν ἄληκτον ζωήν καί τήν χώραν τήν τερπνήν, πανόλβως ἀεί διδοῦσα· Σέ νῦν σέβωμεν καί τιμῶμεν, σεμνή ἐν γούνασι καὶ δεήσεσι.

Οἱ Ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου· Ἐκ νεότητός μου. Προκείμενον·
Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.
Στίχ. Καὶ ἔστησεν πέτραν ἐπὶ τοὺς πόδας μου.
Πᾶσα πνοή.

Εὐαγγέλιον. Κατά Μάρκον. (Κεφ. η΄ , 34-38).
Εἶπεν ὁ Κύριος, ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτόν καί ἀράτω τόν σταυρόν αὐτοῦ, καί ἀκολουθείτω μοί. ὅς γάρ ἄν θέλη τήν ψυχήν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν, ὅς δ’ ἄν ἀπολέσῃ τήν ἑαυτοῦ ψυχήν ἕνεκεν ἐμοῦ καί τοῦ εὐαγγελίου οὗτος σώσει αὐτήν. τί γάρ ὠφελήσει ἄνθρωπον ἐάν κερδήση τόν κόσμον ὅλον, καί ζημιωθῇ τήν ψυχήν αὐτοῦ; ἤ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; ὅς γάρ ἐάν ἐπαισχυνθῇ με καί τούς ἐμοῦς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καί ὁ υἱός τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτόν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρός αὐτοῦ μετά τῶν ἀγγέλων τῶν ἁγίων. Καί ἔλεγεν αὐτοῖς, ἀμήν λέγω ὑμίν ὅτι εἰσί τινές τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μή γεύσωνται θανάτου

ἕως ἄν ἴδωσι τήν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Ὁ Ν΄ ψαλμός, Ἐλέησόν με ὁ Θεός.
Δόξα.
Ταῖς τοῦ σοῦ Ἁγίου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα, στιχηρὸν ἰδιόμελον.
Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Λοῦππε ὡς οὐράνιος, ὡς Παρακλήτου οἰκέτης, δυναστῶν τὰ φόβητρα, ὡς Χριστοῦ ἀγχίμαχος, κατετρόπωσας. Ἀσεβεῖς ἤλεγξας, κραταιοὺς ᾔσχυνας, στρατιώτης καὶ ἀκόλουθος, πιστός καὶ ἄγρυπνος, περιδεξιῶς παριστάμενος· τοῖς λῶποις δὲ τοῦ μάρτυρος, τὰς τερατουργίας δειξάμενος, καὶ οὕτω τὰ πλήθη, πιστεύοντα ποιούμενος Χριστῷ, ἐν παῤῥησίᾳ πρεσβεύων ὡς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα οἱ κανόνες τῆς Θεοτόκου. Ὑγράν διοδεύσας.
Καὶ τοῦ Ἁγίου ὁ παρών οὗ ἡ ἀκροστιχίς: «Ὀβρίμῳ Ἀθλητῇ Κυρίου Λούππῳ. Δημητρίο(υ)».

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.
Ὀρθρίζων παρίσταμαι, καὶ ψαλμωδίας ὑφαίνω σε, καὶ αἶθρος δροσίζει μου, τήν ταπεινήν μου ψυχήν· καὶ τό πνεῦμα μου, φαιδρῶς πανηγυρίζει, καὶ μέλπει γανύμενον, Λοῦππε τήν μνήμην σου.
Βασίλειον πρόσταγμα, καὶ φληναφίας ἠλόγισας, ὡς βέλη τε ἂστοχα, τῇ ἀῤῥαγῇ σου βουλῇ· καὶ τό αἷμά σου, ἰάματα χαρίζει, τῷ σθένει τοῦ Πνεύματος, Λοῦππε πανεύφημε.
Ῥυσθείημεν ἅπαντες, τῆς οἰκουμένης τὰ πέρατα, τοῖς θείοις σου αἵμασι, τῇ Δημητρίου εὐχῇ καὶ ὑμνήσωμεν, τὸν Νέστορα συνάμα, τὸν πάνυ συντρίψαντα, ἐχθροῦ τὰ ἔργματα.
Θεοτοκίον.
Ἰφθίμην ὡς Δέσποινα, ἡμῖν ὁ Κύριος δέδωκεν· ἰσχὺν ἀπροσμάχητον τοῖς αἰτουμένοις βοῇ, ὦ Παντάνασα, ὁλκὰς τῆς σωτηρίας, μὴ παύσει πρεσβεύουσα, τῷ Σῷ Υἱῷ καὶ Θεῷ.

Ὠδὴ γ΄. Ἦχος δ΄. Τοὺς σούς ὑμνολόγους Θεοτόκε.
Μογέων προσήχθης αἱμοβόροις, ἰάσεων ἕνεκα πληθύν, ἔμεινας ἀκατάβλητος, τῇ ἀῤῥωγῇ τοῦ Πνεύματος καὶ ταῖς εὐχαῖς ἐνίκησας, τῶν συμμαρτύρων σου Ἅγιε.
Ὠδίναις ἀλγῶν βουλῇ ἀδίκῳ, σπουδαίως τὰ ἄλγη τοῖς βροτοῖς, ἐξάλειψον θεόδοτε καὶ τῶν ψυχῶν σκοτόμαιναν, ὡς τοῦ Κυρίου Ἅγιος, καὶ ἀγαθοῦ Παντοκράτορος.

Ἀθλόφρων ἀγγέλων τῇ μιμήσει, ἐν κόσμῳ θανῶν σωματικῶς, τὸ πνεῦμα ἠλευθέρωσας, σῶμα δοῦναι ὡς χοῦν τῷ χοΐ, βάσανος οὐ μὴ ἅψηται, δικαίων τῶν Σῶν φιλάνθρωπε.

Θεοτοκίον.

Θεόφιν φωτός αὐγὴ Παρθένε, τὰς φάλαγγας πάσας τῶν ἐχθρῶν, κλυτότοξε κατάβαλλον, ἀπεγνωσμένῳ κύμασιν, ὡς ἐν φαζάλῃ πλέοντι, ἐν ἐρυθροῦ πόντου κλύδωνι.

Κάθισμα .Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ ἑκουσίως.

Κνέφας, δαυλοῦ ὡς νοεροῦ ἀπαυγέος, τῇ φωταγείᾳ καί Θεοῦ συμμαχίᾳ, είς φάος φαῖνον Λοῦππε φωταγώγησας Χριστοῦ· ξίφει κατεστόμωσας, τὴν τοῦ ξίφους κακίαν, πνίξας τοῖς σοῖς αἵμασι τὸν ἀρχέκακον ὄφιν· καὶ παῤῥησίαν ἔχων πρὸς Θεόν, Λοῦππε ὡς μάρτυς μαρτύρων ἀθάνατος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοί, νῦν προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς, Δέσποινα βοήθησον, ἐφ ὑμῖν σπλαγχνεισθεῖσα, σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων, μὴ ἀποστρέψῃς, σούς δούλους κενούς, σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Ὠδὴ δ'. Ἦχος δ'. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.
Λάμπρυνον τὰς φρένας ἰφθίμῃ βουλῇ, τῆς ἐκ τῆς ἀλόγου χαυνώσεως, βίου κακίστου, ὁ ἱκέτης σου βοᾶ, εἰς ἑαυτὸν ἐρχόμενος, Λοῦππε τὰς ἰχῶράς μου ἴασαι.
Ἤστραψεν τοῖς πέρασι Λοῦππε τό φῶς, τοῦ σοῦ μαρτυρίου ἀείφωτε, καταφωτίζων, τὴν σκοτίαν τῶν βροτῶν, ὥς τε πεδία ἄφωτα, τῇ φέξει τῆς στεῤῥᾶς εὐανδρίας σου.
Τεῦξον τὰς ἰάσεις Λοῦππε τοῖς πιστοῖς, αἵμασι ἁγίοις τοῦ Μάρτυρος, πεφοινιγμένοις, Δημητρίου ἀθλητοῦ, ὡς νοτισμοῦ βαπτίσματι, αὖθις τῷ Χριστῷ συνταττόμενοι.
Θεοτοκίον.
Ἥλιος ἐφάνης πυρός τε αὐγή, τῷ ἐκ τῆς σκοτίας πηρώσεως, τετυφλωμένῳ καί ὡς βλέπων ὢν τυφλός, ἡδυμολπῶς ἐκέκραξα· Δόξα τῇ ἁγνείᾳ Σου Δέσποινα.

Ὠδὴ ε'. Ἦχος δ'. Ἐξέστη τὰ σύμπαντα.
Καλέσας τό ποίμνιον, ἐπὶ τῇ θείᾳ μνήμῃ σου, Λοῦππε ὡς φιλότρηρος ταμίη, σχὼν τε ἐν πόλει, τὸν ἱερὸν σου Ναόν, ὡς κῆρυξ συνέγειρας πιστούς, ἵνα σὲ ὑδέουσιν, μελιρύτοισιν ᾄσμασιν.
Ὑπήνεγκας ἅγιε, τὴν τῆς σαρκός σου βάσανον· λίθος ὡς χρυσῖτις ταλασίφρων, τλὰς ὡς εἷς τλήμων τὸν ἐπὶ γῆς πειρασμόν, ἐδρέψω τὸν ὄβρυζον χρυσόν, δῶρον τοῖς τληθύμοις καὶ ὠνουμένοις τὰ ἄληκτα.

Ῥεόντων τὸ ἄστατον καὶ τῶν τερπνῶν τὸ μάταιον· ὥσπερ εἷς σοφώτατος μισήσας, ἄχρηστα ὄντως, ὡς ἐπὶ γῆς θησαυρούς καὶ ἦρας τὸν ἄληκτον παστόν, μάρτυς πυκινόφρονε, οὐρανίων συνόμιλε.

Θεοτοκίον.

Ἰλέωσαι Ἄνασσα, Ἁγνὴ Παρθένε Δέσποινα· λόγον ὡς ἐχούσῃ παῤῥησίας, ἔσχες ἐν μήτρα, τὸν τῆς ζωῆς χορηγόν, ἐτέξω τὸν Κτίστην, τοῦ παντός, φάος τε καί δύναμιν, ἐπιγείων Κοσμήτορα.

Ὠδὴ ϛ'. Ἦχος δ'. Τὴν θείαν ταύτην.

Ὁλκάς ζαφόρος τε πάμφορτος, ὡς ἦλφες μαργαρίτην πολύτιμον, τόν Παντοκράτορα, ἓδωκας ἅπαν βροτόφηλον, ἳνα Χριστόν κερδήσεις, τόν μόνον Κύριον.

Υἱός φωτὸς καὶ ἄγγελος, ἐδείχθης υἱοῖς σου ἐν πνεύματι, ὁ ὑπερένδοξος, κνέφας δαιμόνων κατηύγασας καὶ ἀτραποὺς ἰθύνας, οὐρανοκέλευθους.

Λιμήν νεώσοικος ἅγιε, χειμῶνι τῶν παθῶν θαλαττεύοντι, ἔσω ὡς ναύλοχος, στῆσον κακίας τά πνεύματα, ὡς μεγαλήτωρ Λοῦππε καὶ ταλακάρδιος.

Θεοτοκίον.

Ὁ Λόγος ἐν σοὶ σεσάρκωται, ἀτρέπτως ἀσυγχύτως Θεόνυμφε, ἡλιοστάλλακτε, τὰς ἀτοπίας ἐξάλειψον, τοῖς ζέσει εὐλογοῦσι, τὸν θεῖον τόκον σου.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως.

Καλλωπισθεὶς ὑπὸ Θεοῦ ἀθλοφόρε, ὡς δαφοινοῖς ἐν ἑανοῖς πορφυρότοκε, λαμπροφορεῖς ὡς γάμου ἔχων ἔνδυμα λαμπρόν· σπείρων γὰρ ἐν αἵμασιν, ἐν εὐφρόνῃ θερίζεις· ἰάσας δὲ δι' αἵματος, τὸν Χριστὸν ἐκεκτήσω, καὶ ταῖς πρεσβείαις Ἅγιε ταῖς σαῖς, Λοῦππε παρέχεις πημάτων ἀπάλειψιν.

Ὁ Οἶκος

Τὸν ὑπὲρ κώμης πατρικῆς τὴν ψυχὴν αὐτοῦ θέντα, Θεὸν τὸν ἐν Τριάδι, ἰχνῶν ὡς στρατιώτης, τόν Λοῦππον ὑμνήσωμεν· σπεύδει ἀθλεῖν ὑπὲρ αὐτοῦ, μόσχος ὢν ἤνις σιτευτός τε ἀπαλός, ἀμνὸς ἐκλεκτὸς καὶ ἄφωνος· τοῦτον οὖν καὶ ἡμεῖς εὐφημήσωμεν πάντες, ὡς στεῤῥὸν προστάτην ἡμῶν, ὡς ἔνθεόν τε καὶ πιστὸν δοῦλον, συμμάρτυρα λαμπρὸν καὶ εὖχος Δημητρίου, συναιτοῦντες αὐτῷ, δοῦναι ἰάματα, ἅμα σὺν Νέστορι.

Χαίροις, λαμπρὸν συμμαρτύρων κλέος,
χαίροις, εὐσταθὲς σωφροσύνης ἕρκος.
Χαίροις, εὐανδρείας ἀρίδηλον καύχημα,
χαίροις, εὐδρανείου φρονήσεως πίστωσις.
Χαίροις, ἦτορ φιλομάρτυρον ὁμολογίας νουνεχοῦς,
χαίροις, ἔργῳ ὑπομνήσας τὰς τῶν πρακτέων ἐφετμάς.
Χαίροις, ἄκεσιν δίδων ἀνηκέστως νοσοῦντας, χαίροις, ἄκεστρον θεῖον ἀφειδῶς διαθήσας.

Χαίροις, δαιμόνων ἀτάκτων φόβος,
χαίροις, σκοτασμοῦ ἀφροσύνης φέγγος.
Χαίροις, ἀστὴρ ὁδευόντων δείκτης,
χαίροις, ῥυτήρ αἴας Θεσσαλονίκης.
Χαίροις, Λοῦππε ἀξιάγαστε.

Συναξάριον.

Τῇ ΚΖ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου μάρτυρος Λούππου, τοῦ ἐν Θεσσαλονίκῃ, ὑπὲρ Χριστοῦ συναθλήσαντος τῷ ἁγίῳ Δημητρίῳ, ἅμα τε καὶ Νέστορι.

Στίχοι

Τρίτος μὲν ὁ Λοῦππος ὤν, τριάδος κλήσει, Λοῦππος ὡς ἀθλοφόρος ὁ ἔνθεος λήξει.
Συμμαρτυρήσας ἐν ἄθλοις ἐνθέοις, συγκληρονόμος καὶ παλαιοῖς τοῖς ἄλγοις.
Τῷ Δημητρίῳ καὶ μαθητῶν δυάδι, ζωῆς ἄρονται προσκαίρου δεινῷ ξίφει.
Ὅτ᾽ εἰκάδι ἐβδομάτῃ ἐσᾶλτο πύλας θεοῖο.

Ὠδὴ ζ΄. Ἦχος δ΄. Οὐκ ἐλάτρευσαν.

Ὕμνοις μέλπουσιν, τῇ μνήμει σου οἱ πάροικοι, φρεσί ἡδόμενοι· καί τῇ νυκτός ἰωγῇ, ἀξίως ὑμνήσαντες, χαίροντες ἔλεγον· Ἀξιάγαστε, ὁ τῶν μαρτύρων ἄξιος καί Θεοῦ εὐλογήμενος.

Πῦρ ὡς ἔοικας, τῇ ὄψει λῖν πυρσόκορσον, θοῶς ὀρούεντα· καὶ τῶν ἀνόμων ἰσχύν, ὡς χνοῦν κατελέπτυνας, χαίρετε ἔφασκες· Ἀξιάγαστε, ὁ

τῶν μαρτύρων ἄξιος καὶ Θεοῦ εὐλογήμενος.
Πόνους τείροντας, ὡς βέλεα γὰρ κέδασον, θρῆνόν τε κόπασον· ἐν τῇ πατρῴᾳ σου γῇ, μαρτύρων θεσπέσιε· ἵνα βοῶμέν σοι· Χαῖρε ὦ Λοῦππε, σύ τῶν πιστῶν ἀκήκοας, νοερὰς γονυκλισίας.
Θεοτοκίον.
Ὡραιότης, Ἐκκλησίας Σύ Πανάμωμε, ἡμῶν ἡ Πρόξενος καί μυριάσιν λαοῦ· τῆς γῆς δὲ πᾶν πλήρωμα, πάντες συγχαίροντες, ἐκβοήσατε· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ἦχος δ'. Παῖδας εὐαγεῖς.
Δέξαι τοῦ λαοῦ τὰς ἱκεσίας, ὡς τέκνον Θεσσαλονίκης καρτερώτατον, νέφος ἀεσίμαινον· πάνυ ἀερσίποδον, λαῖλαψ ὡς ἴφι ἄητος, ἀεὶ ἐξάλειψον· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.
Ἤρθης πορφυροῖς ἐν ἱματίοις, ὡς μάρτυς Θεσσαλονίκης ἐπουράνιος, ἄγγελος τανύπτερος· ὡς ὢν οὐρανόφοιτος, ἔκραζες φίλοι ᾄσατε, τῶν πάντων ἄνακτα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.
Μέγαν εὐκλεὴν ἐν τῇ ἀθλήσει, ἡ πόλις Θεσσαλονίκη διεγνώσατο, ἄριστον ὡς μέδοντα· πάνυ μεγαλόψυχον, Μακεδονία ἅπασα, ἡδέως μέλπει σέ· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἥβην εὐακμὴν ἐν τῷ σταδίω, ὡς δῶρον ὦ Θεοτόκε παρεθέσατο, Λοῦππος ὁ τρισένδοξος· ἄγαν τε τλησίπονος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἦχος δ΄. Ἅπας γηγενής.

Τλήμων βριαρός, τοναίῳ τῷ πνεύματι προσκαρτερούμενος, τῇ κραταιοτάτῃ δέ, τῷ χειρὸς κράτει ἶφι στερέωσον, τοὺς χριστωνύμους φύλακας καὶ θεομήστωρας, τῶν βοώντων· Χαίροις ἀξιάγαστε, ἀθλοφόρε σεπτὲ πολυπόθητε.

Ῥᾷον εὐθαρσῶς, ἀνδρείῳ φρονίματι ἀθλοπονούμενος, ὡς πάνυ ἐπίσημος, πατρίδος αἴας σκότος ἐμείωσας, φῶς πανδερκὲς ἐξέπεμψας τῷ τῆς ἀθλήσεως, Λοῦππε μάρτυς· Χαίροις λεοντόκαρδε, ἱμερτέ τε σεπτὲ πολυπόθητε.

Ἶξεν ἑορτή, πιστῶν ἡ ὁμήγυρις τοῦ ἀθλομάρτυρος, ἐλθόντες σκιρτήσατε, μερίμναις γαίης ὕμνοις ἐμπλήσατε, ᾇσμα φαιδρῶς ὁπλίσασθαι τῆς πανηγύρεως, προτὶ ἄστυ· Χαίροις ταλακάρδιε, ἐρατέ ἐρατινὲ ἐριούνιε.

Θεοτοκίον.

Ὄχλους δυσμενῶν, πνευμάτων τὰ πλήθη τὰ πολυδινήεντα, ὡς μήτηρ δή στόρεσον καί μόχθοις βάρει τούς τε συγκύπτοντας, τὴν κραταιὰν σου

στήριξιν αἰτοῦντες Ἄνασσα, πάντα δίδου· Χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ ἀειπάρθενε.

Ἐξαποστειλάριον. Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.
Υἷα παμμακάριστε, Χριστός ὡς προσεδέξατο, τυράννου ξίφει τῇ τρήσει, σαρκός ἀπήλλαξε κράτει, ὅμαιχμοι φίλοι σπεύσατε, ἡ χαρά πυρὸς ἄνθος ὡς· πέπαυται τό πολύστονον, ἀρᾶς ἐπαύθη τό κράτος, ὢ φίλε ἅγιε Λοῦππε.
Θεοτοκίον.
Θεόν Σου Παντάνασσα, Χριστὸν ἡμῶν τὸν Κύριον, σὺν Λούππου ταῖς ἱκεσίαις, σαρκὸς ἡμῶν τὰς παθήσεις, τραύματα νόσους στόνους τέ, ἴαμα ὀδυνήφατον· ἄκεστρόν τε ψυχόσωστον, καιρῷ ἐτάσεως λύτρον, ὢ Μῆτερ Δέσποινα αἴτει.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ' καί ψάλλομεν στιχηρά προσόμοια.
Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.
Ὁμολογήσας ἐνθέως Χριστῷ θεσπέσιε καὶ τολμηρῶς συμπράξας, Δημητρίῳ τῷ θείῳ, Νέστορί τε ἅμα ὑπὲρ Χριστοῦ, κατὰ κράτος νενίκηκας, τάς τοῦ πονηροῦ ἐνέδρας περιφανῶς, νεανία ὀβριμόπατρε.
Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.
Θεσσαλονίκης τὸ κλέος ἄνθος τερπνότατον, δῶρον ἡδυοσμίας, κατευφραῖνον καρδίας·

δρέψωμεν οὖν πάντες ῥόδον ὀσμῆς, ἐξ αἱμάτων φυόμενον, ὅτι ὁ Κύριος ἤγνισεν ὡς Θεός, χάριν δοὺς αὐτῷ σωτήριον.
Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.
Μακεδονίας τὸ ῥόδον αἱματοδάφοινον, τῆς Τριάδος τὸ γλεῦκος, εὐχωλὴ Δημητρίου, Νέστορος ἑταῖρε, ῥῦσαι ἡμᾶς, τοὺς εἰς σὲ καταφεύγοντας, ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεόν, Θεοφόρε ἀναθέμεθα.
Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι.
Τῆς τῶν τυρράνων μανίας καὶ ἰταμότητος, πειρατηρίων θλίψεις, ἀκαθάρτων πνευμάτων, ἅγιε ὁπλῖτα, ῥῦσαι ἡμᾶς, τοὺς εἰς σὲ καταφεύγοντας, ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεόν, Θεοφάντωρ ἀναθέμεθα.
Δόξα. Ἦχος πλ. α’. Χαίροις ἀσκητικῶν ἀληθῶς.
Λοῦππε τῶν ἀθλητῶν ὁ χορός, στρατιωτῶν τε καὶ Μαρτύρων τὰ τάγματα, καὶ πάντες οἱ ἐπ’ ἐσχάτων, ὁμολογοῦντες Χριστόν, σταθηρᾷ τῇ πίστει καὶ φρονίματι· διὸ ἐξετάσθητε, ὡς παράνομοι ἄνθρωποι, ἐχθροὶ τυράννων, πονηρῶν διαβούλια, ὦ φιλάνθρωποι, ἀῤῥωγοί πλήθους ἄριστοι· πύργοι ἀκαταμάχητοι, ἐν γῇ ἀνεδείχθητε, ἅγιοι οἷοι καὶ μόνοι, ἐν τοῖς ἀγῶσιν ἀμάχητοι· διὸ τοῖς ὑμνοῦσιν, τῶν πταισμάτων λύσιν δότε καὶ μέγα ἔλεος.

Καῖ νῦν. Θεοτοκίον. Ὁμόηχον.
Λοῦππον τὸν ἐλεοῦντα ἡμᾶς, τοῖς πρεσβευταῖς ἅμα συνάρθροισον, Δέσποινα, ἡ μήτρᾳ τὸν ζωοδότην, καὶ Βασιλέα Χριστόν, συλλαβοῦσα οἷα Μητροπάρθενε, ὡς μόνη ἐκύησας, τῇ τοῦ Πνεύματος χάριτι· ὃν νῦν δυσώπει, τὰς ψυχὰς τῶν ὑμνούντων Σέ, Θεομήτορα, βίβλῳ ζώντων ἐγγράψασθαι, ὅπως ταῖς μεσιτείαις Σου, σωθέντες Παντάνασσα, τῆς τοῦ Υἱοῦ σου εὐκταίας, ἀπολυτρώσεως τύχωμεν, αὐτὸν ἀνυμνοῦντες,
τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου.

## Εἰς τὴν Θείαν Λειτουργίαν

Ἀπόστολος. Προκείμενον.
Προκείμενον. Ἦχος βαρύς. (Ψαλμὸς ξγ΄).

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.
Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (Κεφ. Β΄ 1-10).
Ἀλληλούϊα (γ΄). Ἦχος δ΄. (Ψαλμὸς α΄).
Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.
(Κεφ. Ιε´ 17- ιστ´ 2)

Κοινωνικόν.
Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάρια.
Δίδου τλησιπόνοις ὑπομονὴν καὶ τοῖς ἀσθενοῦσι, ἰατρείαν ἐρατινήν καὶ πολεμουμένοις τὴν ἄσπετον ἀνδρείαν, ὦ Λοῦππε Θεοφόρε,
Πνεύματος καύχημα.

Δίστιχον.
Βριηράν μοι δίδου σήν χάριν ὦ Λοῦππε, Δημητρίῳ ᾄδοντι τὰς ἀρετὰς Σου.

Copyright © 2018 All rights reserved
ΔΗΜΗΤΡΙΟΣ Γ. ΜΑΥΡΙΔΗΣ
570 19 Νέοι Ἐπιβάτες Θεσσαλονίκης
Ἀνατολικῆς Θράκης 33
Ἠλεκτρ. ταχυδρ.: drmavridis@gmail.com
Τηλέφωνα: 23920 75159, 6971 536 033

